συνέτριψας τὸν ζυγόν σου, διέσπασας τοὺς δεσμούς σου καὶ εἶπας
Οὐ δουλεύσω, ἀλλὰ πορεύσομαι ἐπὶ πᾶν βουνὸν ὑψηλὸν καὶ ὑπο-
κάτω παντὸς ξύλου κατασκίου, ἐκεῖ διαχυθήσομαι ἐν τῇ πορνείᾳ
μου. [21] ἐγὼ δὲ ἐφύτευσά σε ἄμπελον καρποφόρον πᾶσαν ἀληθινήν· 21
πῶς ἐστράφης εἰς πικρίαν, ἡ ἄμπελος ἡ ἀλλοτρία; [22] ἐὰν ἀπο- 22
πλύνῃ ἐν νίτρῳ καὶ πληθύνῃς σεαυτῇ πόαν, κεκηλίδωσαι ἐν ταῖς
ἀδικίαις σου ἐναντίον ἐμοῦ, λέγει κύριος. [23] πῶς ἐρεῖς Οὐκ ἐμιάνθην 23
καὶ ὀπίσω τῆς Βααλ οὐκ ἐπορεύθην; ἰδὲ τὰς ὁδούς σου ἐν τῷ
πολυανδρίῳ καὶ γνῶθι τί ἐποίησας. ὀψὲ φωνὴ αὐτῆς ὠλόλυξεν, τὰς
ὁδοὺς αὐτῆς [24] ἐπλάτυνεν ἐφ᾽ ὕδατα ἐρήμου, ἐν ἐπιθυμίαις ψυχῆς 24
αὐτῆς ἐπνευματοφορεῖτο, παρεδόθη· τίς ἐπιστρέψει αὐτήν; πάντες
οἱ ζητοῦντες αὐτὴν οὐ κοπιάσουσιν, ἐν τῇ ταπεινώσει αὐτῆς εὑρή-
σουσιν αὐτήν. [25] ἀπόστρεψον τὸν πόδα σου ἀπὸ ὁδοῦ τραχείας καὶ 25
τὸν φάρυγγά σου ἀπὸ δίψους. ἡ δὲ εἶπεν Ἀνδριοῦμαι· ὅτι ἠγαπή-
κει ἀλλοτρίους καὶ ὀπίσω αὐτῶν ἐπορεύετο. [26] ὡς αἰσχύνη κλέπτου 26
ὅταν ἁλῷ, οὕτως αἰσχυνθήσονται οἱ υἱοὶ Ισραηλ, αὐτοὶ καὶ οἱ βασι-
λεῖς αὐτῶν καὶ οἱ ἄρχοντες αὐτῶν καὶ οἱ ἱερεῖς αὐτῶν καὶ οἱ προ-
φῆται αὐτῶν. [27] τῷ ξύλῳ εἶπαν ὅτι Πατήρ μου εἶ σύ, καὶ τῷ λίθῳ Σὺ 27
ἐγέννησάς με, καὶ ἔστρεψαν ἐπ᾽ ἐμὲ νῶτα καὶ οὐ πρόσωπα αὐτῶν·
καὶ ἐν τῷ καιρῷ τῶν κακῶν αὐτῶν ἐροῦσιν Ἀνάστα καὶ σῶσον
ἡμᾶς. [28] καὶ ποῦ εἰσιν οἱ θεοί σου, οὓς ἐποίησας σεαυτῷ; εἰ ἀναστή- 28
σονται καὶ σώσουσίν σε ἐν καιρῷ τῆς κακώσεώς σου; ὅτι κατ᾽
ἀριθμὸν τῶν πόλεών σου ἦσαν θεοί σου, Ιουδα, καὶ κατ᾽ ἀριθμὸν
διόδων τῆς Ιερουσαλημ ἔθυον τῇ Βααλ. [29] ἵνα τί λαλεῖτε πρός με; 29
πάντες ὑμεῖς ἠσεβήσατε καὶ πάντες ὑμεῖς ἠνομήσατε εἰς ἐμέ, λέγει
κύριος. [30] μάτην ἐπάταξα τὰ τέκνα ὑμῶν, παιδείαν οὐκ ἐδέξασθε· 30
μάχαιρα κατέφαγεν τοὺς προφήτας ὑμῶν ὡς λέων ὀλεθρεύων, καὶ
οὐκ ἐφοβήθητε. [31] ἀκούσατε λόγον κυρίου Τάδε λέγει κύριος Μὴ 31
ἔρημος ἐγενόμην τῷ Ισραηλ ἢ γῆ κεχερσωμένη; διὰ τί εἶπεν ὁ λαός
μου Οὐ κυριευθησόμεθα καὶ οὐχ ἥξομεν πρὸς σὲ ἔτι; [32] μὴ ἐπιλή- 32
σεται νύμφη τὸν κόσμον αὐτῆς καὶ παρθένος τὴν στηθοδεσμίδα
αὐτῆς; ὁ δὲ λαός μου ἐπελάθετό μου ἡμέρας, ὧν οὐκ ἔστιν ἀριθ-
μός. [33] τί ἔτι καλὸν ἐπιτηδεύσεις ἐν ταῖς ὁδοῖς σου τοῦ ζητῆσαι 33
ἀγάπησιν; οὐχ οὕτως, ἀλλὰ καὶ σὺ ἐπονηρεύσω τοῦ μιᾶναι τὰς
ὁδούς σου. [34] καὶ ἐν ταῖς χερσίν σου εὑρέθησαν αἵματα ψυχῶν 34

20 διεσπασας BS*† ] pr. και rel. | δουλευσω] + σοι B*L* | παν BS†] παντα rel.: cf. Iud. 7 4 B || 21 πασαν αληθ.] tr. A† | εστραφης] ς > A || 22 αποπλυνη] + ς B*S* | ποαν] ποιαν B: cf. Thack. § 6, 39 | εν τ. αδ. σ. / εναντ. (ε)μου] tr. SA pau. | fin.] + ο θεος σου A(†): cf. 𝔐 || 23 ωλολυζεν S* || 24 παντες] pr. πλην S*† || 25 τον $1^0$ — τραχ. .. τον $2^0$ — διψ.] tr. S† || 26 ο βασιλευς S*† | αυτων $2^0$ > A† || 27 εστρεψαν] pr. επ S || 28 σε > B† || 29 παντες υμεις $1^0 \frown 2^0$ A || 31 λογον] pr. τον A† | κυριευθ.] δουλευθησομεθα A† || 34 ευρεθη A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246944X/663 UNIVERSITÄT LEIPZIG